## *ΚΙΘΑΡΙϹΤΗϹ*

### 4 (284 K)

Stobaevs, *Eclogae* iii. 9. 18. *ἐν ταὐτῶι·*

> *τὸ μηθὲν ἀδικεῖν ἐκμαθεῖν γάρ, ὦ Λάχηϲ,*
> *ἀϲτεῖον ἐπιτήδευμα κρίνω τῶι βίωι.*

### 5 (285 K)

Athenaevs 511 a. *Μένανδροϲ δ' ἐν Κιθαριϲτῆι περί τινοϲ μουϲικευομένου λέγων φηϲί*

> *φιλόμουϲον εἶναι ⟨κἀγαπᾶν⟩ αὐτὸν πάνυ*
> *ἀκούϲματ' εἰϲ τρυφήν τε παιδεύεϲθ' ἀεί.*

### 6 (286 K)

Athenaevs 247 f. *Μένανδροϲ . . . ἐν Κιθαριϲτῆι·*

> *οὐκ οἰκοϲίτουϲ τοὺϲ ἀκροατὰϲ λαμβάνειϲ.*

### 7 (287 K)

Stobaevs, *Eclogae* iv. 46. 9. *Μενάνδρου Κιθαριϲτοῦ·*

> *οὕτω τι πρᾶγμ' ἐϲτ' ἐπίπονον τὸ προϲδοκᾶν.*

### 8 (288 K)

Stobaevs, *Eclogae* i. 7. 1. *Μενάνδρου Κιθαριϲτοῦ·*

> *ὡϲ ποικίλον πρᾶγμ' ἐϲτὶ καὶ πλάνον τύχη.*

### 9 (289 K)

Photivs. *ϲκοῖδοϲ· ταμίαϲ τιϲ καὶ διοικητήϲ . . . Μένανδροϲ ἐν Κιθαριϲτῆι ϲκοῖδον Διόνυϲον λέγει.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/171 UNIVERSITÄT LEIPZIG